τῆς κακοσχολίας ἀπαλλάξας ὁ θεὸς τοῦ βελτίονος ἡμῖν τὴν τέχνην ἐνέθηκε, καὶ ὁ τὸ σῶμα μὴ δυνάμενος εὔμορφον ποιῆσαι ἐξ εἰδεχθοῦς, οὗτος τὴν ψυχήν, κἂν εἰς ἐσχάτην δυσειδείαν κατενεχθῇ, εἰς αὐτὴν τῆς ὥρας ἀναγαγεῖν δυνήσεται τὴν κορυφήν, καὶ οὕτως ἐπέραστον ποιῆσαι καὶ ποθεινήν, ὥστε μὴ μόνον τοὺς ἄνδρας τοὺς ἀγαθοὺς εἰς ἐπιθυμίαν αὐτῆς ἐλθεῖν ἀλλὰ καὶ αὐτὸν τὸν τῶν ἁπάντων βασιλέα, θεόν, καθὼς καὶ ὁ ψαλμῳδὸς περὶ τούτου τοῦ κάλλους διαλεγόμενος ἔλεγεν· « Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. »

**14.** Οὐχ ὁρᾷς καὶ ἐν τοῖς χαμαιτυπείοις τῶν γυναικῶν, ὅτι τὰς μὲν εἰδεχθεῖς καὶ ἀναισχύντους μονομάχοι καὶ θηριομάχοι καὶ δραπέται μόλις ἂν πρόσοιντο, εἰ δέ πού τις εὔμορφος καὶ εὐγενὴς καὶ αἰσχυντηλὴ κατά τινα περίστασιν εἰς ταύτην ἔλθοι τὴν ἀνάγκην, οὐδὲ τῶν σφόδρα λαμπρῶν καὶ μεγάλων ἀνδρῶν τὸν ἐκείνης τις γάμον ἐρυθριάσειεν; Εἰ δὲ παρὰ ἀνθρώποις τοσοῦτος ἔλεος καὶ τοσαύτη δόξης ὑπεροψία, ὥστε τὰς πολλάκις καταισχυνθείσας ἐπὶ τοῦ τέγους ἀπαλλάξαι τῆς δουλείας ἐκείνης καὶ ἐν τάξει ἔχειν γυναικῶν, πολλῷ μᾶλλον ἐπὶ τοῦ θεοῦ τοῦτο ἔσται, καὶ τῶν ψυχῶν τῶν ἀπὸ τῆς ἄνωθεν εὐγενείας κατὰ τὴν τοῦ διαβόλου τυραννίδα εἰς τὸ τοῦ παρόντος βίου χαμαιτυπεῖον καταπεσουσῶν. Καὶ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/66 UNIVERSITÄT LEIPZIG